Il.17.424 ὣς οἳ μὲν μάρναντο, σιδήρειος δ᾽ ὀρυμαγδὸς
Il.17.425 χάλκεον οὐρανὸν ἷκε δι᾽ αἰθέρος ἀτρυγέτοιο·
Il.17.426 ἵπποι δ᾽ Αἰακίδα̱ο μάχης ἀπάνευθεν ἐόντες
Il.17.427 κλαῖον, ἐπεὶ δὴ πρῶτα πυθέσθην ἡνιόχοιο
Il.17.428 ἐν κονίῃσι πεσόντος ὑφ᾽ Ἕκτορος ἀνδροφόνοιο.
Il.17.429 ἦ μα̱ν Αὐτομέδων Δι̱ώρεος ἄλκιμος υἱὸς
Il.17.430 πολλὰ μὲν ἂρ μάστι̱γι θοῇ ἐπεμαίετο θείνων,
Il.17.431 πολλὰ δὲ μειλιχίοισι προσηύδα̱, πολλὰ δ᾽ ἀρειῇ·
Il.17.432 τὼ δ᾽ οὔτ᾽ ἂψ ἐπὶ νῆας ἐπὶ πλατὺν Ἑλλήσποντον
Il.17.433 ἠθελέτην ἰέναι οὔτ᾽ ἐς πόλεμον μετ᾽ Ἀχαιούς,
Il.17.434 ἀλλ᾽ ὥς τε στήλη μένει ἔμπεδον, ἥ τ᾽ ἐπὶ τύμβῳ
Il.17.435 ἀ̱νέρος ἑστήκῃ τεθνηότος ἠὲ γυναικός,
Il.17.436 ὣς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντες
Il.17.437 οὔδει ἐνισκίμψαντε καρήατα· δάκρυα δέ σφι
Il.17.438 θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυ̱ρομένοισιν
Il.17.439 ἡνιόχοιο πόθῳ· θαλερὴ δ᾽ ἐμιαίνετο χαίτη
Il.17.440 ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέρωθεν.
Il.17.441 Μυ̱ρομένω δ᾽ ἄρα τώ γε ἰδὼν ἐλέησε Κρονι̱ίων,
Il.17.442 κι̱νήσα̱ς δὲ κάρη προτὶ ὃν μυ̱θήσατο θυ̱μόν·
Il.17.443 ἆ δειλώ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι
Il.17.444 θνητῷ, ὑ̱μεῖς δ᾽ ἐστὸν ἀγήρω τ᾽ ἀ̱θανάτω τε;
Il.17.445 ἦ ἵνα δυστήνοισι μετ᾽ ἀνδράσιν ἄλγε᾽ ἔχητον;
Il.17.446 οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυ̱ρώτερον ἀνδρὸς
Il.17.447 πάντων, ὅσσά τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
Il.17.448 ἀλλ᾽ οὐ μα̱ν ὑ̱μῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
Il.17.449 Ἕκτωρ Πρι̱αμίδης ἐποχήσεται· οὐ γὰρ ἐά̱σω.
Il.17.450 ἦ̱ ο̱ὐχ ἅλις ὡς καὶ τεύχε᾽ ἔχει καὶ ἐπεύχεται αὔτως;
Il.17.451 σφῶϊν δ᾽ ἐν γούνεσσι βαλῶ μένος ἠδ᾽ ἐνὶ θυ̱μῷ,

Il.17.452 ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
Il.17.453 νῆας ἔπι γλαφυρά̱ς· ἔτι γάρ σφισι κῦδος ὀρέξω
Il.17.454 κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκωνται
Il.17.455 δύ̱ῃ τ´ ἠέλιος καὶ ἐπὶ κνέφας ἱ̯ερὸν ἔλθῃ·
Il.17.456 Ὣς εἰπὼν ἵπποισιν ἐνέπνευσεν μένος ἠΰ.
Il.17.457 τὼ δ´ ἀπὸ χαιτά̱ων κονίην οὖδας δὲ βαλόντε
Il.17.458 ῥίμφα φέρον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς.
Il.19.282 Βρι̱σηῒς δ´ ἄρ´ ἔπειτ´ ἰκέλη χρυ̱σέῃ̱ Ἀφροδί̱τῃ
Il.19.283 ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ,
Il.19.284 ἀμφ´ αὐτῷ χυμένη λίγ´ ἐκώκυε, χερσὶ δ´ ἄμυσσε
Il.19.285 στήθεά τ´ ἠδ´ ἁπαλὴν δειρὴν ἰδὲ κα̱λὰ πρόσωπα.
Il.19.286 εἶπε δ´ ἄρα κλαίουσα γυνὴ ἐϊκυῖα θεῇσι·
Il.19.287 Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυ̱μῷ
Il.19.288 ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,
Il.19.289 νῦν δέ σε τεθνηῶτα κιχά̱νομαι ὄρχαμε λα̱ῶν
Il.19.290 ἂψ ἀνιοῦσ´· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.
Il.19.291 ἄνδρα μὲν ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ
Il.19.292 εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ,
Il.19.293 τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
Il.19.294 κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
Il.19.295 οὐδὲ μὲν οὐδέ μ´ ἔασκες, ὅτ´ ἄνδρ´ ἐμὸν ὠκὺς Ἀχιλλεὺς
Il.19.296 ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
Il.19.297 κλαίειν, ἀλλά μ´ ἔφασκες Ἀχιλλῆος θείοιο
Il.19.298 κουριδίην ἄλοχον θήσειν, ἄξειν τ´ ἐνὶ νηυσὶν
Il.19.299 ἐς Φθί̱ην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.
Il.19.300 τώ σ´ ἄμοτον κλαίω τεθνηότα μείλιχον αἰεί.
Il.19.301 Ὣς ἔφατο κλαίουσ´, ἐπὶ δὲ στενάχοντο γυναῖκες
Il.19.302 Πάτροκλον πρόφασιν, σφῶν δ´ αὐτῶν κήδε´ ἑκάστη.